# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΙΕΡΑΡΧΗΝ ΣΑΒΒΑΝ, ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΤΡΑΝΣΥΛΒΑΝΙΑΣ, ΤΟΝ ΟΜΟΛΟΓΗΤΗΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ'. Ὁ ὑψωθείς.*

Ἱεραρχῶν ἁγίων ζήσας τὸν βίον,
Ὀρθοδοξίας στύλος πάτερ ἐφάνης,
καὶ ἀληθείας πρόμαχος τῆς πίστεως Χριστοῦ·
ὅθεν πλεῖστα ἔπαθες,
ὑπὸ τῶν ψευδαδέλφων,
Σάββα παμμακάριστε,
μηδαμῶς παρεκκλίνας,
Τρανσυλβανίας πάμφωτε ποιμήν,
καὶ τῶν τιμώντων, μεσῖτα πρὸς Κύριον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Σάββα πάτερ, σκέπε Ὀρθόδοξον λαόν σου. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.*

Σεβόμενοι Σάββα τὴν ἱεράν,
καὶ θείαν σου μνήμην,
σὲ προβάλλομεν πρὸς Θεόν,

ἱκέτην πυρφόρον ὅπως Τούτου,
ταῖς ἐντολαῖς πορευώμεθα πάντοτε.

Ἀγάπην ἣν ἔσχες πρὸς τὸν Θεόν,
πατὴρ ἡμῶν Σάββα,
ταύτην ἔνθες ἐν ταῖς ψυχαῖς,
τῶν σὲ ὥσπερ πρότυπον ἐχόντων,
Ὀρθοδοξίας ἐν λόγοις καὶ πράξεσιν

Βοήθει σοῖς τέκνοις Σάββα σεπτέ,
κινδύνοις κειμένοις,
καὶ ποικίλοις ἐν πειρασμοῖς,
ἐχθροῦ διαβόλου πολεμοῦσι,
καὶ τῶν εὐχῶν τῶν ἁγίων σου χρήζουσι.

*Θεοτοκίον*

Βεβαία ὑπάρχεις καταφυγή,
πιστῶν Θεοτόκε,
προστρεχόντων τῇ μητρικῇ,
καὶ θείᾳ σου σκέπη ἐν ἀνάγκαις,
οὓς ἐκλυτροῦσαι ταχὺ ταῖς πρεσβείαις σου.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀρνησάμενος κόσμον καὶ ὑλικὴν μέριμναν,
ὅλον σεαυτὸν τῷ Κυρίῳ,
θυσίαν ἔθηκας,
ὅθεν ἐπλούτησας,
ἐν ἀρεταῖς πολυτρόποις,
δι’ ὧν Σάββα κόσμησον,
τοὺς σὲ γεραίροντας.

Πεποιθὼς τῷ Δεσπότῃ,
καὶ πληρωθεὶς Πνεύματος,
Σάββα μοναζόντων τὸ Σχῆμα,

πόθῳ ἐνδέδυσαι,
καὶ ἄθλους ἤνεγκας,
κατὰ τοὺς πάλαι Πατέρας,
μεθ’ ὧν καθικέτευε,
ὑπὲρ τῶν τέκνων σου.

Ἀληθείας Κυρίου,
τὸν φωτισμὸν εἴληφας,
καὶ Ὀρθοδοξίας τῇ πίστει,
Σάββα ἐστήριξαι,
ὅθεν διδάσκαλος,
Τρανσυλβανίας ἐγένου,
ἣν καὶ νῦν συντήρησον,
τῇ Πίστει μένουσαν.

*Θεοτοκίον*

Τῶν Ἀγγέλων Παρθένε,
καὶ τῶν βροτῶν ἴσμεν σε,
τὸ ὑπεργλυκύτατον ᾆσμα,
καὶ ἀγαλλίαμα,
ὅτι γεγέννηκας,
ἐκ τῶν ἁγνῶν σου αἱμάτων,
Ἰησοῦν γλυκύτατον,
Θεὸν καὶ ἄνθρωπον.

Διάσωσον,
ὅσιε Σάββα τοὺς ὅσοι φαιδρῶς τιμῶσι,
τὴν ἁγίαν καὶ πάνσεπτον μνήμην σου,
εὐχαῖς τηρῶν αὐτοὺς ἀεί, ἀσαλεύτους τῇ πίστεως Ὀρθοδοξίᾳ.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἐν χρόνοις δεινοῖς,

φωστὴρ ἐφάνης ἔκλαμπρος,
κηρύξας λαμπρῶς,
Ὀρθοδοξίας δόγματα,
καὶ ποιμὴν πανάριστος,
Τρανσυλβανίας πεφανέρωσαι,
ὁμολογήσας ἀνδρικῶς,
Πατέρων τὴν πίστιν Σάββα ἅγιε.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Ἐν δυνάμει ἐξήλεγξας,
πλάνην δυσσεβούντων,
Σάββα μακάριε,
ἧς περ πάντας διαφύλαξον,
τοὺς σὲ ὥσπερ πρότυπον κατέχοντας.

Ῥήτωρ πέφηνας Πνεύματος,
Σάββα διαλύων ἱστὸν αἱρέσεως,
ἣν καὶ αὖθις ἀποδίωξον,
ἐκ Τρανσυλβανίας ταῖς πρεσβείαις σου.

Στρατηγὸς ἐννομώτατος,
ὥσπερ Φινεὲς ἄλλος Ἅγιε,
Ὀρθοδόξους καθωδήγησας,
πίστεως πατρῴας μὴ ἀφίστασθαι.

*Θεοτοκίον*

Κλῖνον πάναγνε Δέσποινα,
τὰ μητρῷα ὦτά σου καὶ ἐπάκουσον,
τῶν δεήσεων τῶν τέκνων σου,
ἃς πρὸς τὸ συμφέρον πλήρου τάχιστα.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Εὐαγγελικός,

ἦν ὁ βίος καὶ ὁ λόγος σου,
δι’ ὧν τὴν ποίμνην σου ἐξέθρεψας σοφῶς,
ἧς πάτερ Σάββα,
ἀοράτως ἀεὶ πρόστηθι.

Πόνους καὶ πληγάς,
διὰ Κύριον ὑπήνεγκας,
πλάνας ἐλέγχων δυσσεβῶν Σάββα κλεινέ,
ἀλλ’ ὥσπερ λέων,
Ὀρθοδόξοις ὤφθης τέκνοις σου.

Ἕνεκεν Χριστοῦ,
ἀληθείας πεφυλάκισαι,
Σάββα ἐμμένων θείοις δόγμασι στεῤῥῶς,
ἐν οἷς ἐμμένειν,
καὶ ἡμᾶς καλῶς ἀξίωσον.

*Θεοτοκίον.*

Ὅταν τοῦ ἐχθροῦ,
τὰ πυρφόρα βέλη πίπτωσιν,
σκέπη γενήθητι Παρθένε τῶν πιστῶν,
ὅπως τιμῶμεν,
μητρικήν σου συναντίληψιν.

*Ὠιδὴ Ϛ΄. Τὴν δέησιν.*

Ῥημάτων,
τῆς ἀσεβείας πέλυκυς,
εὐσεβείας δὲ ὑπέρμαχος Πάτερ,
ἀναδειχθείς,
ἐν αὐτοῖς τὴν σὴν ποίμνην,
πρὸς σωτηρίας τὰς τρίβους κατηύθυνες,
μετόχους ἧς ἀνάδειξον καὶ νῦν,
τοὺς τιμῶντάς σε Σάββα μακάριε

Θανάτου, καταφρονήσας Ἅγιε,
τὰς βασάνους ὡς τρυφὰς ἐλογίσω,
καλβινιστῶν,
διελέγξας τὰς πλάνας,
καὶ Ὀρθοδόξων τρανώσας τὰ δόγματα,
μιμούμενος Σάββα σοφέ,
παλαιοὺς διδασκάλους τῆς Πίστεως.

Οὓς δέδωκεν,
ὁ Σωτὴρ ἐτήρησας,
φιλοστόργως ἀληθείας τῇ Ποίμνῃ,
νυχθημερόν,
Ἐκκλησίας ποτίζων,
τοῖς ζωηφόροις καὶ θείοις διδάγμασιν,
ὧν Σάββα δεῖξον κοινωνούς,
καὶ ἡμᾶς τοὺς σὴν μνήμην γεραίροντας.

*Θεοτοκίον*

Διδάσκαλοι,
Ὀρθοδόξου πίστεως,
Θεοτόκον σε κυρίως φωνοῦσιν,
ὡς ἀληθῶς,
Θεὸν Λόγον τεκοῦσαν,
καὶ παρθενίαν τηρήσασαν ἄφθορον,
ἐξ οὗ πλουτοῦμέν σε πιστοί,
πρὸς Τριάδα ἁγίαν μεσίτριαν.

Διάσωσον,
ὅσιε Σάββα τοὺς ὅσοι φαιδρῶς τιμῶσι,
τὴν ἁγίαν καὶ πάνσεπτον μνήμην σου,
εὐχαῖς τηρῶν αὐτοὺς ἀεί,
ἀσαλεύτους τῇ πίστεως Ὀρθοδοξίᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ἱεράρχης πιστὸς ἀναδέδειξαι,
ὀρθοδόξων γενόμενος στήριγμα,
ὅτι πάτερ, τῶν ψευδοχρίστων ὤφθης ἐλεγκτής,
κρατῶν, πατροπαραδότους διδαχάς,
δι' ἃς πάθη καὶ δεσμά,
ἐν εἰρήνῃ ὑπήνεγκας.
Ὅθεν δεόμεθά σου,
Σάββα μὴ ὑπερίδῃς,
τῶν σὲ τιμώντων ἐκπληροῦν,
τὰ πρὸς Κύριον αἰτήματα.

Προκείμενον. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον* (ι'32-ια'1)

Εἶπεν ὁ Κύριος· Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον,

ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Ὅλῃ τῇ καρδίᾳ σου, τὸν Ἰησοῦν ἀγαπήσας,
ποιμενάρχης ἄριστος, Σάββα ἀναδέδειξαι,
καὶ φιλόστοργος.
Ὀρθοδόξων στήριγμα, ἐν Τρανσυλβανίᾳ,
ἐν καιροῖς δυσκόλοις γέγονας,
τὰ θεῖα δόγματα, τοῖς πιστοῖς διδάσκων ἐν χάριτι.
Διὸ καὶ πλεῖστα ἔπαθες, ὁμολογητὰ γενναιότατε.
Ὅθεν ἡμῖν εὔχου,
ἐμμένειν Ἐκκλησίας διδαχαῖς,
ὅπως Παράδεισον εὕρωμεν,
σὺν Ἁγίοις ἅπασι.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οὐδαμῶς ἐπτοήθης,
ἐκ παντοίων διώξεων Σάββα ὅσιε,
ἃς ὑπὸ ψευδοχρίστων,
ὑπέστης ἀλλ᾽ἐφάνης,
ὥσπερ λέων θεόψυχος,
ὁμολογῶν ἀληθῶς,
τὴν πίστιν Ἐκκλησίας.

Ξένα πέλουσιν ὅσα,
βλασφημοῦντες εἰσάγετε ὦ παράνομοι,
ἐν τῇ Ὀρθοδοξίᾳ,
ἣ μόνη τοῦ Δεσπότου,
Σῶμα ἔστι καὶ λέγεται,
Σάββα ἐφώνεις τρανῶς,
πίστεως καινοτόμοις.

Οὐκ ἀρνοῦμαι ἐβόας,
ἣν πατρόθεν ἁγίαν Πίστιν παρέλαβον,
διὸ βασάνους πάσας,
ὑμῶν καθυπομένω,
ὅπως λάβω τὸν στέφανον,
ὁμολογίας καλῆς,
ὃν ὁ Χριστός μοι δώσει.

*Θεοτοκίον*

Νέας κτίσεως ὤφθης,
εἰσηγήτρια Μῆτερ θεοχαρίτωτε,
τεκοῦσα Θεὸν Λόγον,
ἐν Πνεύματι Ἁγίῳ,
Οὗ οἰκήματα ἅπαντας,
τοὺς σὲ τιμῶντας πιστούς,
δεῖξον σεπταῖς εὐχαῖς σου.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Λόγου κηρύξας,
Οἰκονομίαν ὦ Σάββα,
λογοποίησον ὅσοι σε ὡς πρέσβυν,
πρὸς Αὐτὸν ἐν πίστει,
ἀεὶ προβαλλομέν σε.

Ἀσθενημάτων,
ψυχῆς καὶ σώματος Σάββα,
τῶν τιμώντων ἰάτρευσον τὰ πάθη,

ἐν εὐχαῖς γὰρ ἔχεις,
πολλὴν τὴν παῤῥησίαν.

Ὅταν τὰ νέφη,
τῶν πειρασμῶν πάτερ Σάββα,
τὰς ψυχὰς περιβάλλωσιν σῶν τέκνων,
μάκρυνον ὡς κόνιν,
διδοὺς Χριστοῦ εἰρήνην.

*Θεοτοκίον*

Νοῦν καὶ καρδίαν,
τοῦ Ἰησοῦ θείᾳ μνήμῃ,
καθαγίασον Πάναγνε Παρθένε,
πάντων Ὀρθοδόξων,
ὅπως σε ἀνυμνῶμεν.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Στερέωσον τῇ πίστει,
τῆς Ὀρθοδοξίας,
Σάββα σοφὲ ὑπὲρ ἧς πλεῖστα ἔπαθες,
τοὺς ἱερὰν καὶ σεπτήν σου,
μνήμην γεραίροντας.

Οὐ θησαυροὺς αἰτοῦμεν,
Σάββα φθειρομένους,
ἐκ σοῦ εἰ μὴ τὴν ἀλήθειαν πίστεως,
δι’ ἧς Ἁγίων τὰ πλήθη,
Χριστῷ κεκοίμηνται.

Ὑψώθης πάτερ Σάββα,
ὑπὸ τοῦ Δεσπότου,
καὶ ἐν καθέδρᾳ Ἁγίων ἐκάθησας,
ἔνθα μὴ παύσῃ πρεσβεύων,
ὑπὲρ τῶν τέκνων σου.

*Θεοτοκίον*

Ἀμόλυντε Παρθένε,
Ὀρθοδόξων Μήτηρ,
ἐν καθαρότητι πίστεως τήρησον,
πάντας ἡμᾶς τοὺς ἀπαύστως,
σὲ μεγαλύνοντας.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

**Μεγαλυνάρια**

Χαίροις Ἱεράρχα Σάββα σοφέ,
τῆς Τρανσυλβανίας,
ποιμενάρχα καὶ πρεσβευτά,
ὅστις τὴν σὴν ποίμνην,
πρὸς τρίβους ἀληθείας,
ὡδήγησας καὶ πλήθη,
βασάνων ἤνεγκας.

Παλαιῶν Πατέρων ἐκμιμητής,
ὤφθης πάτερ Σάββα,
τῶν δογμάτων τῶν ἀληθῶν,
Μητρὸς Ἐκκλησίας,

σοφῶς ὑπερμαχήσας,
ὁμολογίας στέφος,
ἀναδησάμενος.

Φύλαττε τὴν ποίμνην σου ἀβλαβῆ,
ἐκ παντὸς κινδύνου,
θείας χεῖράς σου ἀνυψῶν,
πρὸς καλὸν Δεσπότην,
Οὗ ἄριστος ἐργάτης,
Αὐτοῦ τῷ ἀμπελῶνι,
Σάββα γεγένησαι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·

πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.

Σάββα ἱεράρχα θαυμαστέ,
τῆς Τρανσυλβανίας προστάτα,
Ὀρθοδοξίας φωστήρ,
πάντας τοὺς τιμῶντάς σε σκέπε καὶ φρούρησον,
ἐκ κινδύνων καὶ θλίψεων,
πληρῶν τὰς αἰτήσεις,
ὅσαι περ συμβάλλουσιν εἰς σωτηρίαν ψυχῶν,
τὴν δὲ πρὸς Σωτῆρα ἀγάπην,
αὔξησον εὐχαῖς σου ἁγίαις,
παῤῥησίαν ἔχων λεοντόψυχε.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.
* * *

## *Στίχοι*

*Στύλος ὢν Ὀρθοδοξίας, πάτερ Σάββα,*
*Δῶρον ὑπερτίμητον δὸς ἡμῖν ταύτην.*